# ΔΙΔΑΧΗ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ

# The Teaching of the Apostles

February 2014 edition
(First ed. June 2010)

A Critical Greek Edition

with footnotes covering textual variants

Compiled by David Robert Palmer

http://bibletranslation.ws/palmer-translation/

www.lulu.com/spotlight/bibletranslation

Please report errors to:
kanakawatut yahoo com

ABBREVIATIONS USED HEREIN:

(source texts are lower case; Greek editions are two or three capital letters)

apcon - the Apostolic Constitutions
arab - Arabic version
barn - The Greek text of the Epistle of Barnabas
*bis* - twice
BR - Greek edition by Philotheos Bryennios, which edition is the *Editio Princeps*
*c.e.*- - conjectural emendation, connected with a hyphen to the editor who proposed it, ie., *c.e.*-HR.
cop - the Coptic version (5th century)
did - Didascalia
DR - Greek edition by H. DeRomestin, Vicar of Stony Stratford (1885)
eth - Ethiopian version
FB - Funk/Bihlmeyer Greek edition (1924)
FG - Greek edition by Fitzgerald
geo - the Georgian version
GG - Greek edition edited by Goold, G. P., Loeb Classical Library (1998)
HB - Greek edition by Hitchcock & Brown
HG - Greek edition by Hilgenfeld
HOL - Greek edition by Hemmer, Oger, & Laurent (1907) based on the text of Funk
HR - Greek edition by A. Harnack
jc - Jerusalem Codex, or Codex Hierosolymitanus (1056 C.E.)
lat - the Latin version of the "Two Ways" (3rd cent.?)
MH - Greek edition by Michael W. Holmes (3rd Ed. ©2007)
MS. - manuscript
ord - the Apostolic Church Ordinances
$\mathfrak{P}^{1782}$ Oxyrhynchus Papyrus 1782 (4th century)
SB - Greek edition by Sabatier
SP - Greek edition by Spence
TK - Greek edition by Theodorus Klauser (1940)
VG - Greek edition by von Gebhardt
WN - Greek edition by Wünsche
ZN - Greek edition by Zahn

# ΔΙΔΑΧΗ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ
Compiled by David Robert Palmer

ΔΙΔΑΧΗ κυρίου διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν[1]

## Κεφ. α′ I

1 Ὁδοὶ δύο εἰσί,[2] μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου, διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν.[3]

2 Ἡ μὲν οὖν [ὁδὸς][4] τῆς ζωῆς ἐστὶν αὕτη· πρῶτον ἀγαπήσεις τὸν Θεὸν τὸν ποιήσαντά σε· δεύτερον, τὸν πλησίον σου ὡς σεαυτόν· πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί[5] σοι, καὶ σὺ ἄλλῳ μὴ ποίει.

3 Τούτων δὲ τῶν λόγων ἡ διδαχή ἐστιν αὕτη· Εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν, νηστεύετε δὲ ὑπὲρ τῶν διωκόντων ὑμᾶς. ποία γὰρ χάρις ἐὰν ἀγαπᾶτε[6] τοὺς ἀγαπῶντας[7] ὑμᾶς; οὐχὶ καὶ τὰ ἔθνη τὸ αὐτὸ[8] ποιοῦσιν; ὑμεῖς δὲ ἀγαπᾶτε[9] τοὺς μισοῦντας ὑμᾶς καὶ οὐχ ἕξετε ἐχθρόν.[10]

4 Ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν[11] ἐπιθυμιῶν. Ἐάν τις σοὶ δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ ἔσῃ τέλειος· ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε

---

[1] **Title** - Διδαχὴ τῶν ἀποστόλων Nicephorus: *Stichometria*; (Athanasius: διδαχὴ καλουμένη τῶν ἀποστόλων; *Ep. Fest.* 39) (Rufinus: Doctrina Apostolorum) ‖ Διδαχαὶ τῶν ἀποστόλων (Eusebius: τῶν ἀποστόλων αἱ λεγόμεναι διδαχαί: - *H. E. iii. 25*); (Ps-Cyprian: Doctrinæ Apostolorum - *De Alcatoribus*) ‖ Διδαχῆ κυρίου διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν lat FB ‖ Διδαχὴ τῶν ἀποστόλων Διδαχὴ κυρίου διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν jc ‖ Διδαχὴ τῶν δώδεκα ἀποστόλων: Νῦν πρῶτον ἐκδιδομένη ὑπὸ Φιλοθέου Βρυεννίου, μητροπολίτηου Νικομηδείας Διδαχὴ κυρίου διὰ τῶν ἀποστόλων τοῖς ἔθνεσιν BR

[2] **1:1a** txt εἰσί jc BR FB GG MH TK ‖ add *in seculo* lat

[3] **1:1b** Jeremiah 21:8; Matthew 7:13,14; Barnabas 18:1 says ὁδοὶ δύο εἰσὶν διδαχῆς καὶ ἐξουσίας, ἥ τε τοῦ φωτὸς καὶ ἡ τοῦ σκότους. Διαφορὰ δὲ πολλὴ τῶν δύο ὁδῶν. lat adds: *lucis et tenebrarum. In his constituti sunt angeli duo, unus aequitatis, alter iniquitatis*

[4] **1:2a** txt ὁδὸς jc BR DR FB GG HOL MH TK ‖ *omit* apcon KL?

[5] **1:2b** txt πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί jc BR DR GG HOL MH TK ‖ πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνηεσθαί FB ‖ πάντα δὲ ὅσα ἂν μὴ θέλῃς ord ‖ πᾶν ὃ μὴ θέλεις apcon. Matthew 7:12: Πάντα οὖν ὅσα ἐὰν θέλητε. (Byz- ἂν). Cod. Bezae: Καὶ ὅσα μὴ θέλετε ἑαυτοῖς γείνεσθαι, ἑτέρῳ μὴ ποιεῖν; Luke 6:31: καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε αὐτοῖς ὁμοίως. Tobit 4:15: καὶ ὅ μισεῖς, μηδενὶ ποιήσῃς. (Cods. A, B, but ℵ lacks)

[6] **1:3a** txt ἀγαπᾶτε jc BR DR FB GG HOL MH TK ‖ φιλῆτε apcon

[7] **1:3b** txt ἀγαπῶντας jc BR DR FB GG HOL MH TK ‖ φιλοῦντας apcon

[8] **1:3c** txt τὸ αὐτὸ jc BR DR GG HOL MH ‖ τοῦτο 𝔓1782 apcon FB TK Rich.

[9] **1:3d** txt ἀγαπᾶτε jc BR DR GG HOL MH ‖ φιλεῖτε 𝔓1782 apcon FB TK

[10] **1:3e** txt ἐχθρόν. jc BR DR FB GG HOL MH TK ‖ ἐχθρόν. ἄκουε τὶ σὲ δεῖ ποιοῦντα σῶσαι σου τὸ πνεῦμα πρῶτον πάντων 𝔓1782

[11] **1:4a** txt σαρκικῶν καὶ κοσμικῶν apcon BR HB SB SP WN ‖ σαρκικῶν [καὶ σωματικῶν] FB TK ‖ σαρκικῶν καὶ σωματικῶν jc geo DR GG HG HOL HR MH ‖ σαρκικῶν 𝔓1782 CCEL Rich. (1 Peter 2:11 has only σαρκικῶν.) I would point out "love not the world...lusts of the flesh, eyes" of 1 John 2:15, and Bryennios adopted κοσμικῶν for his text based on Apostolic Constitutions 7:2, Titus 2:12 - ἀρνησάμενοι...τὰς κοσμικὰς ἐπιθυμίας; and 2 Clement to the Corinthians 17:3- ἀπὸ τῶν κοσμικῶν ἐπιθυμιῶν.

μετ’ αὐτοῦ δύο· ἐὰν ἄρῃ τις τὸ ἱμάτιόν σου, δὸς αὐτῷ καὶ τὸν χιτῶνα· ἐὰν λάβῃ τις ἀπό σοῦ τὸ σόν, μὴ ἀπαίτει· οὐδὲ γὰρ δύνασαι.[12]

5 παντὶ[13] τῷ αἰτοῦντι σὲ δίδου καὶ μὴ ἀπαίτει· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ἐκ τῶν ἰδίων χαρισμάτων. μακάριος ὁ διδοὺς κατὰ τὴν ἐντολὴν· ἀθῷος[14] γάρ ἐστιν οὐαὶ τῷ λαμβάνοντι· εἰ μὲν γὰρ χρείαν ἔχων λαμβάνει τις, ἀθῷος ἔσται· ὁ δὲ μὴ χρείαν ἔχων δώσει δίκην, ἵνα τὶ[15] ἔλαβε καὶ εἰς τί· ἐν συνοχῇ δὲ γενόμενος ἐξετασθήσεται περὶ ὧν ἔπραξε καὶ οὐκ ἐξελεύσεται ἐκεῖθεν, μέχρις οὖ ἀποδῷ τὸν ἔσχατον κοδράντην.

6 ἀλλὰ καὶ περὶ τούτου δὲ[16] εἴρηται· Ἱδρωσάτω[17] ἡ ἐλεημοσύνη σου εἰς τὰς χεῖρας σου, μέχρις[18] ἂν γνῷς τίνι δῷς.

## Κεφ. β′ II

1 Δευτέρα δὲ ἐντολὴ τῆς διδαχῆς·

2 οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις, οὐ πορνεύσεις, οὐ κλέψεις, οὐ μαγεύσεις, οὐ φαρμακεύσεις, οὐ φονεύσεις τέκνον ἐν φθορᾷ οὐδὲ γεννηθέν[19] ἀποκτενεῖς,

3 οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον,[20] οὐκ ἐπιορκήσεις, οὐ ψευδομαρτυρήσεις, οὐ κακολογήσεις, οὐ μνησικακήσεις·

4 οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου ἡ διγλωσσία.[21]

5 οὐκ ἔσται ὁ λόγος σου ψευδής, οὐ κενός, ἀλλὰ μεμεστωμένος πράξει.[22]

6 οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ οὐδὲ ὑποκριτὴς οὐδὲ κακοήθης οὐδὲ ὑπερήφανος. οὐ λήψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου.

7 οὐ μισήσεις πάντα ἄνθρωπον, ἀλλὰ οὓς μὲν ἐλέγξεις, περὶ δὲ ὧν[23] προσεύξῃ, οὓς δὲ ἀγαπήσεις ὑπὲρ τὴν ψυχὴν σου.

---

[12] **1:4b** txt οὐδὲ γὰρ δύνασαι - this phrase is omitted in Apostolic Constitutions 7:2, and the Georgian version adds after it: τοῦτο ποιεῖν καὶ τῆς πίστεως ἕνεκα - "to do this, and for the sake of the/your faith."

[13] **1:5a** The Georgian version lacks verses 5 and 6.

[14] **1:5b** txt (bis) ἀθῷος BR GG MH TK ‖ ἀθῶος (bis) DR HOL

[15] **1:5c** txt ἵνα τί HG HR TK ‖ ἱνατί jc BR DR FB GG HOL MH

[16] **1:6a** txt δὲ jc DR FB GG HOL MH TK ‖ δὴ BR

[17] **1:6b** txt Ἱδρωσάτω BR FB GG HB HOL HR MH SP TK ‖ Ἱδρυσάτω HG ‖ Ἱδρωτάτω jc DR. There have been a few conjectural emendations here proposed by some scholars.

[18] **1:6c** txt μέχρις BR FB GG HOL TK MH ‖ μέχρι jc DR

[19] **2:2a** txt γεννηθέν apcon barn ord BR FB GG HB HG HOL HR MH SP TK WN ‖ γεννηθέντα jc DR, c.f., γεννηθὲν in Matt. 1:20.

[20] Some editions, one being TK (Theodorus Klauser's) begin verse 3 here. The standard verse division is Harnack's.

[21] **2:4a** See Epistle of Barnabas 19:7, the only other place the noun διγλωσσία is found. Compare δίλογοι in the Epistle of Polycarp to the Philippians, 5:2.

[22] **2:5** txt ψευδής οὐ κενός ἀλλὰ μεμεστωμένος πράξει jc BR DR FB GG HOL MH TK ‖ ψευδής οὐ κενός apcon arab ‖ κενός οὐδὲ ψευδής lat ord

## Κεφ. γʹ III

1 Τέκνον μου, φεῦγε ἀπὸ παντὸς[24] πονηροῦ καὶ ἀπὸ παντὸς ὁμοίου[25] αὐτοῦ.

2 μὴ γίνου ὀργίλος·[26] ὁδηγεῖ γὰρ ἡ ὀργὴ πρὸς τὸν φόνον· μηδὲ ζηλωτὴς μηδὲ ἐριστικὸς μηδὲ θυμικός· ἐκ γὰρ τούτων ἁπάντων φόνοι γεννῶνται.
3 τέκνον μου, μὴ γίνου ἐπιθυμητής· ὁδηγεῖ γὰρ ἡ ἐπιθυμία πρὸς τὴν πορνείαν· μηδὲ αἰσχρολόγος μηδὲ ὑψηλόφθαλμος· ἐκ γὰρ τούτων ἁπάντων μοιχεῖαι γεννῶνται.

4 τέκνον μου, μὴ γίνου οἰωνοσκόπος· ἐπειδὴ ὁδηγεῖ εἰς τὴν εἰδωλολατρίαν·[27] μηδὲ ἐπαοιδὸς μηδὲ μαθηματικὸς μηδὲ περικαθαίρων μηδὲ θέλε αὐτὰ βλέπειν,[28] ἐκ γὰρ τούτων ἁπάντων εἰδωλολοτρία[29] γεννᾶται.
5 τέκνον μου, μὴ γίνου ψεύστης· ἐπειδὴ ὁδηγεῖ τὸ ψεῦσμα εἰς τὴν κλοπήν· μηδὲ φιλάργυρος μηδὲ κενόδοξος· ἐκ γὰρ τούτων ἁπάντων κλοπαὶ γεννῶνται.
6 τέκνον μου, μὴ γίνου γόγγυσος· ἐπειδὴ ὁδηγεῖ εἰς τὴν βλασφημίαν· μηδὲ αὐθάδης μηδὲ πονηρόφρων, ἐκ γὰρ τούτων ἁπάντων βλασφημίαι γεννῶνται.
7 ἴσθι δὲ πραΰς· ἐπεὶ οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν.
8 γίνου μακρόθυμος καὶ ἐλεήμων καὶ ἄκακος. καὶ ἡσύχιος καὶ ἀγαθὸς καὶ τρέμων τοὺς λόγους διὰ παντός,[30] οὓς ἤκουσας.
9 οὐχ ὑψώσεις σεαυτὸν οὐδὲ δώσεις τῇ ψυχῇ σου θράσος. οὐ κολληθήσεται ἡ ψυχή σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ.
10 τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδὼς ὅτι ἄτερ θεοῦ οὐδὲν γίνεται.

## Κεφ. δʹ IV

1 Τέκνον μου, τοῦ λαλοῦντός σοι τὸν λόγον τοῦ θεοῦ μνησθήσῃ νυκτὸς καὶ ἡμέρας, τιμήσεις δὲ αὐτὸν ὡς κύριον· ὅθεν γὰρ ἡ κυριότης λαλεῖται, ἐκεῖ κύριός ἐστιν.

2 ἐκζητήσεις δὲ καθ’ ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων, ἵνα ἐπαναπαῇς[31] τοῖς λόγοις αὐτῶν.

3. οὐ ποθήσεις[32] σχίσμα,[33] εἰρηνεύσεις δὲ μαχομένους· κρινεῖς δικαίως, οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώμασιν.
4. οὐ διψυχήσεις, πότερον ἔσται ἢ οὔ.
5. Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν.
6. ἐὰν ἔχῃς διὰ τῶν χειρῶν σου, δώσεις λύτρωσιν ἁμαρτιῶν σου.

---

[23] **2:7** txt δὲ ὧν jc BR DR GG HOL MH ‖ ὧν δὲ FB TK

[24] **3:1a** txt παντὸς apcon jc BR FB GG HOL MH TK ‖ *add* πράγματος 𝔓1782

[25] **3:1b** txt καὶ ἀπὸ παντὸς ὁμοίου apcon jc BR FB GG HOL MH TK ‖ καὶ ὁμοίου 𝔓1782

[26] **3:2** txt ὀργίλος BR GG HOL MH TK ‖ ὀργῖλος jc DR

[27] **3:4a** txt εἰδωλολατρίαν jc DR FB GG HOL MH TK ‖ εἰδωλολατρείαν BR HG SP WN

[28] **3:4b** txt βλέπειν jc GG MH Allen Ang ‖ βλέπειν [μηδὲ ἀκούειν] FB TK ‖ βλέπειν μηδὲ ἀκούειν geo lat ord HOL

[29] **3:4c** txt εἰδωλολατρία FB GG HOL MH TK ‖ εἰδωλολατρεία HG SP WN

[30] **3:8** txt διὰ παντός jc BR FB GG HOL MH TK ‖ *omit* apcon lat

[31] **4:2** txt ἐπαναπαῇς apcon DR GG HG HOL HR KL MH TK ‖ ἐπαναπαύῃ BR SB SP ‖ ἐπαναπαῆς jc

[32] **4:3a** txt ποθήσεις jc BR DR GG SB SP WN ‖ ποιήσεις apcon lat ord FB HG HOL HR MH TK.

[33] **4:3b** txt σχίσμα jc BR GG HOL MH TK ‖ σχίσματα apcon lat ord

7. οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις· γνώσῃ γάρ, τίς ἐστιν ὁ[34] τοῦ μισθοῦ καλὸς ἀνταποδότης.

8. οὐκ ἀποστραφήσῃ τὸν ἐνδεόμενον,[35] συγκοινωνήσεις δὲ πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀθανάτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς θνητοῖς;

9. Οὐκ ἀρεῖς τὴν χεῖρα σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις[36] τὸν φόβον τοῦ θεοῦ.

10. οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ, τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν ἐλπίζουσιν, ἐν πικρίᾳ σου, μήποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις θεόν· οὐ γὰρ ἔρχεται κατὰ πρόσωπον καλέσαι, ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασεν.

11. ὑμεῖς δὲ οἱ δοῦλοι[37] ὑποταγήσεσθε τοῖς κυρίοις ὑμῶν[38] ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ.

12. Μισήσεις πᾶσαν ὑπόκρισιν καὶ πᾶν ὃ μὴ ἀρεστὸν τῷ κυρίῳ.[39]

13. οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου, φυλάξεις δὲ ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν.

14. ἐν ἐκκλησίᾳ ἐξομολογήσῃ τὰ παραπτώματά σου, καὶ οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν συνειδήσει πονηρᾷ· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς.

## Κεφ. ε′ V

1. Ἡ δὲ τοῦ θανάτου ὁδός ἐστιν αὕτη· πρῶτον πάντων πονηρά ἐστι καὶ κατάρας μεστή· φόνοι, μοιχεῖαι, ἐπιθυμίαι, πορνεῖαι, κλοπαί, εἰδωλολατρίαι,[40] μαγεῖαι, φαρμακίαι,[41] ἁρπαγαί, ψευδομαρτυρίαι, ὑποκρίσεις, διπλοκαρδία, δόλος, ὑπερηφανία, κακία, αὐθάδεια, πλεονεξία, αἰσχρολογία, ζηλοτυπία, θρασύτης, ὑψηλοφροσύνη,[42] ἀλαζονεία.[43]

2. διῶκται ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεῦδος, οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ οὐδὲ κρίσει δικαίᾳ ἀρυπνοῦντες οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν· ὧν μακρὰν πραΰτης καὶ ὑπομονή, μάταια ἀγαπῶντες, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, καταπονοῦντες τὸν θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί,[44] πανθαμάρτητοι· ῥυσθείητε, τέκνα,[45] ἀπὸ τούτων ἁπάντων.

---

[34] **4:7** txt ὁ BR FB GG HOL MH TK ‖ ἡ jc

[35] **4:8** txt τὸν ἐνδεόμενον jc BR FB GG HOL MH TK ‖ ἐνδεόμενον apcon

[36] **4:9** txt διδάξεις geo jc BR FB GG HOL MH ‖ διδάξεις <αὐτούς> TK ‖ διδάξεις αὐτούς apcon lat

[37] **4:11a** txt οἱ δοῦλοι apcon BR GG HG HOL HR MH SB TK ‖ [οἱ] δοῦλοι FB ‖ δοῦλοι jc

[38] **4:11b** ὑμῶν apcon lat BR FB GG HOL MH TK ‖ ἡμῶν jc

[39] **4:12** txt τῷ κυρίῳ jc BR FB GG HOL MH TK ‖ add "*non facies*" (τῷ κυρίῳ οὐ ποιήσεις) lat

[40] **5:1a** txt εἰδωλολατρίαι jc FB GG HOL MH TK ‖ εἰδωλοτρεῖαι BR HB HG WN

[41] **5:1b** txt φαρμακίαι jc FB GG HOL MH TK ‖ φαρμακεῖαι BR HB HG WN

[42] **5:1c** txt ὑψηλοφροσύνη apcon ‖ ὕψος jc BR FB GG HOL MH TK

[43] **5:1d** txt ἀλαζονεία. geo jc BR GG MH ‖ ἀλαζονεία [ἀφοβία] FB ‖ ἀλαζονεία ἀφοβία apcon (lat) HOL ‖ ἀλαζονεία, ⟨ἀφοβία θεοῦ⟩ TK ‖ ἀλαζονεία, ἀφοβία θεοῦ. barn

[44] **5:2a** txt ἄνομοι κριταί BR FB GG HOL MH TK ‖ ὑπερόπται apcon

## Κεφ. ϛʹ VI

1. Ὅρα, μή τίς σε πλανήσῃ ἀπὸ ταύτης τῆς ὁδοῦ τῆς διδαχῆς, ἐπεὶ[46] παρεκτὸς θεοῦ σε διδάσκει.
2. εἰ μὲν γὰρ δύνασαι βαστάσαι ὅλον τὸν ζυγὸν τοῦ κυρίου, τέλειος ἔσῃ· εἰ δ’ οὐ δύνασαι, ὃ δύνῃ, τοῦτο ποίει.
3. περὶ δὲ τῆς βρώσεως, ὃ δύνασαι βάστασον· ἀπὸ δὲ τοῦ εἰδωλοθύτου λίαν πρόσεχε· λατρεία γάρ ἐστι θεῶν νεκρῶν.

## Κεφ. ζʹ VII

1. Περὶ δὲ τοῦ βαπτίσματος, οὕτω βαπτίσατε· ταῦτα πάντα προειπόντες, βαπτίσατε[47] εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐν ὕδατι ζῶντι.
2. ἐὰν δὲ μὴ ἔχῃς ὕδωρ ζῶν, εἰς ἄλλο ὕδωρ βάπτισον· εἰ δ’ οὐ δύνασαι ἐν ψυχρῷ, ἐν θερμῷ.
3. ἐὰν δὲ ἀμφότερα μὴ ἔχῃς, ἔκχεον εἰς τὴν κεφαλὴν τρὶς ὕδωρ εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.
4. πρὸ δὲ τοῦ βαπτίσμος προνηστευσάτω ὁ βαπτίζων καὶ ὁ βαπτιζόμενος[48] καὶ εἴ τινες ἄλλοι δύναται· κελεύεις[49] δὲ νηστεῦσαι τὸν βαπτιζόμενον πρὸ μιᾶς ἢ δύο.

## Κεφ. ηʹ VIII

1. Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν. νηστεύουσι γὰρ δευτέρα σαββάτων καὶ πέμτῃ· ὑμεῖς δὲ νηστεύσατε τετράδα καὶ παρασκευήν.
2. μηδὲ προσεύχεσθε ὡς οἱ ὑποκριταί, ἀλλ’ ὡς ἐκέλευσεν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ, οὕτω προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω[50] τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸ ἐπιούσιον δὸς ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
3. τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε.

## Κεφ. θʹ IX

1. Περὶ δὲ τῆς εὐχαριστίας, οὕτως[51] εὐχαριστήσατε·
2. πρῶτον περὶ τοῦ ποτηρίον· Εὐχαριστοῦμεν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ἁγίας ἀμπέλου Δαυὶδ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
3. περὶ δὲ τοῦ κλάσμος· Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ τῆς ζωῆς καὶ γνώσεως, ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου. σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.

---

[45] **5:2b** txt ῥυσθείητε, τέκνα, apcon jc BR FB GG HOL MH TK ‖ *abstine te fili* (ῥυσθείητι τέκνον) lat

[46] **6:1** txt ἐπεὶ jc BR FB GG HOL MH TK ‖ ἐπειδὴ HG

[47] **7:1** txt ταῦτα πάντα προειπόντες, βαπτίσατε geo jc BR FB GG HOL MH TK ‖ *omit* apcon

[48] **7:4a** txt ὁ βαπτιζόμενος jc FB GG HOL MH TK ‖ οἱ βαπτιζόμενοι HG

[49] **7:4b** txt κελεύεις jc FB GG HOL MH TK ‖ κελεύσεις BR HG SB

[50] **8:2** txt γενηθήτω BR FB GG HG HOL MH TK WN ‖ γεννηθήτω jc

[51] **9:1** txt οὕτως barn? FB GG HOL ‖ οὕτω jc MH TK

4. ὥσπερ ἦν τοῦτο τὸ[52] κλάσμα διεσκορπισμένον ἐπάνω τῶν ὀρέων καὶ συναχθὲν ἐγένετο ἕν, οὕτω συναχθήτω σου ἡ ἐκκλησία ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν. ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις διὰ Ἰησοῦ Χριστοῦ[53] εἰς τοὺς αἰῶνας.
5. μηδεὶς δὲ φαγέτω μηδὲ πιέτω ἀπὸ τῆς εὐχαριστίας ὑμῶν, ἀλλ’ οἱ βαπτισθέντες εἰς ὄνομα κυρίου· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ κύριος· Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί.

## Κεφ. ι΄ X

1. Μετὰ δὲ τὸ ἐμπλησθῆσαι οὕτως εὐχαριστήσατε·
2. Εὐχαριστοῦμέν σοι, πάτερ ἅγιε, ὑπὲρ τοῦ ἁγίου ὀνοματός σου, οὗ κατεσκήνωσας ἐν ταῖς καρδίαις ἡμῶν,[54] καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀθανασίας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου· σοὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
3. σύ, δέσποτα παντοκράτωρ, ἔκτισας τὰ πάντα ἕνεκεν τοῦ ὀνόματός σου, τροφήν τε καὶ ποτὸν ἔδωκας τοῖς ἀνθρώποις εἰς ἀπόλαυσιν, ἵνα σοι εὐχαριστήσωσιν, ἡμῖν δὲ ἐχαρίσω πνευματικὴν τροφὴν καὶ ποτὸν καὶ ζωὴν αἰώνιον διὰ[55] τοῦ παιδός σου.
4. πρὸ[56] πάντων εὐχαριστοῦμέν σοι, ὅτι δυνατὸς εἶ· σοὶ[57] ἡ δόξα εἰς τοὺς αἰῶνας.
5. μνήσθητι, κύριε, τῆς ἐκκλησίας σου, τοῦ ῥύσασθαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου, καὶ σύναξον αὐτὴν ἀπὸ τῶν τεσσάρων ἀνέμων, τὴν ἁγιασθεῖσαν,[58] εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.
6. ἐλθέτω χάρις καὶ παρελθέτω ὁ κόσμος οὗτος. Ὡσαννὰ[59] τῷ θεῷ[60] Δαυίδ.[61] εἴ τις ἅγιός ἐστιν, ἐρχέθω· εἴ τις οὐκ ἔστι, μετανοείτω· μαρὰν ἀθά· ἀμήν.
7. τοῖς δὲ προφήταις ἐπιτρέπετε εὐχαριστεῖν ὅσα θέλουσιν.

## Κεφ. ι΄β Xb[62]

1 [[Περί δὲ τοῦ μύρου οὕτως εὐχαριστήσατε,

---

[52] **9:4a** txt τοῦτο τὸ GG HOL HR MH *c.e.*-VG ZN ‖ τοῦτο [τὸ] FB TK ‖ τοῦτο jc.

[53] **9:4b** txt διὰ Ἰησοῦ Χριστοῦ jc BR FB HOL MH ‖ διὰ Ἰησοῦ KL ‖ omit διὰ Ἰησοῦ Χριστοῦ apcon. DeRomestin says of the occurence of Ἰησοῦ earlier in 9:3, διὰ Ἰησοῦ τοῦ παιδός σου: "The use of the name Jesus, without the addition of Christ, is a mark of high antiquity." Perhaps here is a case of h.t. In addition, in my copy of Byrennios, in 9:4 the word Ἰησοῦ is the last word on the bottom of a page, and Χριστοῦ the first word on the next page. In my original text in this, I had only Ἰησοῦ and I do not recall why. It could be because my electronic copy of the Didache text by Kirsopp Lake omits Χριστοῦ.

[54] **10:2** txt ἡμῶν BR FB GG HOL MH TK ‖ ὑμῶν jc

[55] **10:3** txt διὰ τοῦ παιδός σου apcon jc BR GG HOL MH ‖ διὰ 〈Ἰησοῦ〉 τοῦ παιδός σου TK ‖ διὰ Ἰησοῦ τοῦ παιδός σου cop geo FB

[56] **10:4a** txt πρὸ apcon jc BR FB GG HOL MH ‖ περί cop TK

[57] **10:4b** txt εἶ· σοὶ cop geo BR FB GG HG HOL TK ZN ‖ εἶ σύ··jc ‖ εἶ σύ· σοὶ *c.e.*-HR MH.

[58] **10:5** txt τὴν ἁγιασθεῖσαν geo jc BR FB GG HOL MH TK ‖ *omit* apcon cop

[59] **10:6a** txt Ὡσαννὰ *rell.* ‖ Ὡς ἀννὰ jc This was an error made in the Jerusalem Codex.

[60] **10:6b** txt θεῷ geo jc DR FB GG HOL HR MH TK ‖ υἱῷ apcon BR HB HG SP WN

[61] **10:6c** txt Δαυίδ FB HOL MH TK ‖ Δαυείδ GG ‖ Δαβίδ jc BR

[62] The FB edition contains chapter 10b, but GG HOL MH TK do not.

2 Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν ἅγιε, ὑπὲρ τοῦ μύρου, οὗ ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, σοὶ ἡ δόξα εἰς τούς αἰῶνας, ἀμήν.]]

## Κεφ. ια´ XI

1. Ὃς ἂν οὖν ἐλθὼν διδάξῃ ὑμᾶς ταῦτα πάντα τὰ προειρημένα, δέξασθε αὐτόν·
2. ἐὰν δὲ αὐτὸς ὁ διδάσκων στραφεὶς διδάσκῃ ἄλλην διδαχὴν εἰς τὸ καταλῦσαι, μὴ αὐτοῦ ἀκούσητε· εἰς δὲ τὸ προσθεῖναι δικαιοσύνην καὶ γνῶσιν κυρίου, δέξασθε αὐτὸν ὡς κύριον.
3. Περὶ δὲ τῶν ἀποστόλων καὶ προφητῶν, κατὰ τὰ δόγμα τοῦ εὐαγγελίου οὕτω ποιήσατε.
4. πᾶς δὲ ἀπόστολος ἐρχόμενος πρὸς ὑμᾶς δεχθήτω ὡς κύριος·
5. οὐ μενεῖ δὲ εἰ μὴ[63] ἡμέραν μίαν· ἐὰν δὲ ᾖ χρεία, καὶ τὴν ἄλλην· τρεῖς δὲ ἐὰν μείνῃ, ψευδοπροφήτης ἐστίν.
6. ἐρχόμενος δὲ ὁ ἀπόστολος μηδὲν λαμβανέτω εἰ μὴ ἄρτον, ἕως οὗ αὐλισθῇ· ἐὰν δὲ ἀργύριον αἰτῇ, ψευδοπροφήτης ἐστί.
7. Καὶ πάντα προφήτην λαλοῦντα ἐν πνεύματι οὐ πειράσετε οὐδὲ διακρινεῖτε· πᾶσα γὰρ ἁμαρτία ἀφεθήσεται, αὕτη δὲ ἡ ἁμαρτία οὐκ ἀφεθήσεται.
8. οὐ πᾶς δὲ ὁ λαλῶν ἐν πνεύματι προφήτης ἐστίν, ἀλλ' ἐὰν ἔχῃ τοὺς τρόπους κυρίου. ἀπὸ οὖν τῶν τρόπων γνωσθήσεται ὁ ψευδοπροφήτης καὶ ὁ προφήτης.
9. καὶ πᾶς προφήτης ὁρίζων[64] τράπεζαν ἐν πνεύματι οὐ φάγεται ἀπ' αὐτῆς, εἰ δὲ μήγε ψευδοπροφήτης ἐστί.
10. πᾶς δὲ προφήτης διδάσκων τὴν ἀλήθειαν, εἰ ἃ διδάσκει οὐ ποιεῖ, ψευδοπροφήτης ἐστί.
11. πᾶς δὲ προφήτης δεδοκιμασμένος, ἀληθινός, ποιῶν[65] εἰς μυστήριον κοσμικὸν[66] ἐκκλησίας, μὴ διδάσκων δὲ ποιεῖν, ὅσα αὐτὸς ποιεῖ, οὐ κριθήσεται ἐφ' ὑμῶν· μετὰ θεοῦ γὰρ ἔχει τὴν κρίσιν· ὡσαύτως γὰρ ἐποίησαν καὶ οἱ ἀρχαῖοι προφῆται.
12. ὃς δ' ἂν εἴπῃ ἐν πνεύματι· δός μοι ἀργύρια ἢ ἕτερά τινα, οὐκ ἀκούσεσθε αὐτοῦ· ἐὰν δὲ περὶ ἄλλων ὑστερούντων εἴπῃ δοῦναι, μηδεὶς αὐτὸν κρινέτω.

## Κεφ. ιβ´ XII

1. Πᾶς δὲ ὁ ἐρχόμενος[67] ἐν ὀνόματι κυρίου δεχθήτω· ἔπειτα δὲ δοκιμάσαντες αὐτὸν γνώσεσθε, σύνεσιν γὰρ ἕξετε[68] δεξιὰν καὶ ἀριστεράν.

---

[63] **11:5** txt οὐ μενεῖ δὲ εἰ μὴ eth GG HOL HR MH ‖ οὐ μενεῖ δέ 〈εἰ μὴ〉 TK ‖ οὐ μενεῖ [εἰ μὴ] FB ‖ Μένει δὲ HG ‖ οὗ μενέτω ZN ‖ οὐ μενεῖ δὲ jc BR

[64] **11:9** txt ὁρίζων BR FB GG HOL MH TK ‖ ὁ ρίζων jc ‖ ὁ ῥέζων, "who is offering," *c.e.*-Gordon.

[65] **11:11a** txt ποιῶν jc BR FB GG HOL TK MH ‖ μυῶν HG. Zahn proposed ποιῶν μυστήριον κοσμικὸν εἰς ἐκκλησίας.

[66] **11:11b** txt κοσμικὸν jc BR FB GG HOL MH TK ‖ κοσμικῶν *c.e.*-HG ‖ κόσμιον *c.e.*-Petersen ‖ ποιῶν μυστήριον κοσμικὸν εἰς ἐκκλησίας *c.e.*-ZN. This is by all accounts the most difficult part of the Didache to understand, translate, and interpret.

[67] **12:1a** txt ὁ ἐρχόμενος jc BR GG HOL MH ‖ ὁ ἐρχόμενος 〈πρὸς ὑμᾶς〉 TK ‖ ὁ ἐρχόμενος πρὸς ὑμᾶς apcon cop geo FB

[68] **12:1b** txt σύνεσιν γὰρ ἕξετε *c.e.*-BR GG HOL ‖ σύνεσιν γὰρ <ἕξετε> MH ‖ (σύνεσιν γὰρ ἔχετε) TK ‖ σύνεσιν γὰρ ἔχετε apcon cop FB ‖ σύνεσιν γὰρ ἕξεται jc. Bryennios conjectured that ἕξεται is an itacism for ἕξετε.

2. εἰ μὲν παρόδιός ἐστιν ὁ ἐρχόμενος, βοηθεῖτε αὐτῷ, ὅσον δύνασθε· οὐ μενεῖ δὲ πρὸς ὑμᾶς εἰ μὴ δύο ἢ τρεῖς ἡμέρας, ἐὰν ᾖ ἀνάγκη.
3. εἰ δὲ θέλει πρὸς ὑμᾶς καθῆσθαι,[69] τεχνίτης ὤν, ἐργαζέσθω καὶ φαγέτω.
4. εἰ δὲ οὐκ ἔχει τέχνην, κατὰ τὴν σύνεσιν ὑμῶν προνοήσατε, πῶς μὴ ἀργὸς μεθ' ὑμῶν ζήσεται Χριστιανός.
5. εἰ δ' οὐ θέλει οὕτω ποιεῖν, χριστέμπορός ἐστι· προσέχετε ἀπὸ τῶν τοιούτων.

## Κεφ. *ιγ'* XIII

1. Πᾶς δὲ προφήτης ἀληθινὸς θέλων καθῆσθαι[70] πρὸς ὑμᾶς ἄξιός ἐστι τῆς τροφῆς αὐτοῦ.
2. ὡσαύτως διδάσκαλος ἀληθινός ἐστιν ἄξιος καὶ αὐτὸς ὥσπερ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.
3. πᾶσαν οὖν ἀπαρχὴν γεννημάτων ληνοῦ καὶ ἅλωνος, βοῶν τε καὶ προβάτων λαβὼν δώσεις τὴν ἀπαρχὴν[71] τοῖς προφήταις· αὐτοὶ γάρ εἰσιν οἱ ἀρχιερεῖς ὑμῶν.
4. ἐὰν δὲ μὴ ἔχητε προφήτην, δότε τοῖς πτωχοῖς.
5. ἐὰν σιτίαν ποιῇς, τὴν ἀπαρχὴν λαβὼν δὸς κατὰ τὴν ἐντολήν.
6. ὡσαύτως κεράμιον οἴνου ἢ ἐλαίου[72] ἀνοίξας, τὴν ἀπαρχὴν λαβὼν δὸς τοῖς προφήταις·
7. ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος λαβὼν τὴν ἀπαρχήν, ὡς ἂν σοὶ δόξῃ, δὸς κατὰ τὴν ἐντολήν.

## Κεφ. *ιδ'* XIV

1. Κατὰ κυριακὴν[73] δὲ κυρίου συναχθέντες κλάσατε ἄρτον καὶ εὐχαριστήσατε, προεξομολογησάμενοι[74] τὰ παραπτώματα ὑμῶν, ὅπως καθαρὰ ἡ θυσία ὑμῶν[75] ᾖ.
2. πᾶς δὲ ἔχων τὴν[76] ἀμφιβολίαν μετὰ τοῦ ἑταίρου αὐτοῦ μὴ συνελθέτω ὑμῖν, ἕως οὗ διαλλαγῶσιν, ἵνα μὴ κοινωθῇ ἡ θυσία ὑμῶν.[77]
3. αὕτη γάρ ἐστιν ἡ ῥηθεῖσα ὑπὸ κυρίου· Ἐν παντὶ τόπῳ καὶ χρόνῳ προσφέρειν μοι θυσίαν καθαράν. ὅτι βασιλεὺς μέγας εἰμί, λέγει κύριος, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι.

## Κεφ. *ιε'* XV

1. Χειροτονήσατε οὖν ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους ἀξίους τοῦ κυρίου, ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων.

---

69 **12:3** txt καθῆσθαι FB GG HOL MH TK ‖ καθῆσαι jc BR ‖ καθίσαι HG HR ZN

70 **13:1** txt καθῆσθαι FB GG HOL MH TK ‖ καθῆσαι jc BR ‖ καθίσαι HG HR ZN

71 **13:3** txt τὴν ἀπαρχὴν eth jc FB GG HOL MH ‖ τὴν [ἀπαρχὴν] DR ‖ τὴν apcon? ‖ [τὴν ἀπαρχὴν] TK ‖ *omit* geo BR

72 **13:6** txt ἐλαίου jc BR FB GG HOL MH TK ‖ ἐλαίου καὶ μέλιτος apcon eth

73 **14:1a** txt κατὰ κυριακὴν jc BR FB GG HOL MH TK ‖ καθ' ἡμέραν geo (apcon?)

74 **14:1b** txt προεξομολογησάμενοι FB GG HG HOL TK *c.e.*-VG ZN ‖ <προεξομολογησάμενοι> MH ‖ προσεξομολογησάμενοι jc BR HR$^{\text{txt}}$

75 **14:1c** txt ὑμῶν apcon geo BR FB GG HOL MH TK ‖ ἡμῶν jc

76 **14:2a** txt τὴν jc BR FB GG HOL MH TK ‖ τινα HR c.e.-VG ZN

77 **14:2b** txt ὑμῶν apcon geo BR FB GG HOL MH TK ‖ ἡμῶν jc

2. μὴ οὖν ὑπερίδητε αὐτούς· αὐτοὶ γάρ εἰσιν οἱ τετιμημένοι ὑμῶν μετὰ τῶν προφητῶν καὶ διδασκάλων.
3. Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ' ἐν εἰρήνῃ ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ· καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ' ὑμῶν ἀκουέτω,[78] ἕως οὗ μετανοήσῃ.
4. τὰς δὲ εὐχὰς ὑμῶν καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτω ποιήσατε, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν.

## Κεφ. ιϛ' XVI

1. Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· οἱ λύχνοι ὑμῶν μὴ σβεσθήτωσαν, καὶ αἱ ὀσφύες ὑμῶν[79] μὴ ἐκλυέσθωσαν, ἀλλὰ γίνεσθε ἕτοιμοι· οὐ γὰρ οἴδατε τὴν ὥραν, ἐν ᾗ ὁ κύριος ἡμῶν ἔρχεται.
2. πυκνῶς δὲ συναχθήσεσθε ζητοῦντες τὰ ἀνήκοντα ταῖς ψυχαῖς ὑμῶν· οὐ γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ ἐν τῷ ἐσχάτῳ καιρῷ τελειωθῆτε.
3. ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς, καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους, και ἡ ἀγάπη στραφήσεται εἰς μῖσος.
4. αὐξανούσης γὰρ τῆς ἀνομίας μισήσουσιν ἀλλήλους καὶ διώξουσι καὶ παραδώσουσι, καὶ τότε φανήσεται ὁ κοσμοπλανὴς ὡς υἱὸς θεοῦ, καὶ ποιήσει σημεῖα καὶ τέρατα, καὶ ἡ γῆ παραδοθήσεται εἰς χεῖρας αὐτοῦ, καὶ ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἐξ αἰῶνος.
5. τότε ἥξει ἡ κτίσις[80] τῶν ἀνθρώπων εἰς τὴν πύρωσιν τῆς δοκιμασίας, καὶ σκανδαλισθήσονται πολλοὶ καὶ ἀπολοῦνται, οἱ δὲ ὑπομείναντες ἐν τῇ πίστει αὐτῶν σωθήσονται ὑπ' [81] αὐτοῦ τοῦ καταθέματος.
6. καὶ τότε φανήσεται τὰ σημεῖα τῆς ἀληθείας· πρῶτον σημεῖον ἐκπετάσεως[82] ἐν οὐρανῷ, εἶτα σημεῖον φωνῆς σάλπιγγος, καὶ τὸ τρίτον ἀνάστασις νεκρῶν.
7. οὐ πάντων δέ, ἀλλ' ὡς ἐῤῥέθη· Ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ.
8. τότε ὄψεται ὁ κόσμος τὸν κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ.

---

78 **15:3** txt ἀκουέτω jc BR FB GG HOL MH TK ‖ ἀκουέσθω HG ZN

79 **16:1** txt ὑμῶν BR FB GG HOL TK ‖ <ὑμῶν> MH ‖ ἡμῶν jc. Apprently all editors agree on this emendation, starting with Bryennios. Elsewhere that this same edit occurs, at least there are other ancient source texts agreeing against the Jerusalem Codex.

80 **16:5a** txt κτίσις jc BR FB GG HOL MH TK ‖ κρίσις *c.e.*-HG ‖ πίστις *c.e.*-Harris

81 **16:5b** txt ὑπ' jc BR FB GG HOL MH ‖ ἀπ' geo HG TK ZN

82 **16:6** txt ἐκπετάσεως jc BR FB GG HOL MH TK ‖ ἐπιφάσεως Potivin

## A Latin Fragment of the Doctrina Apostolorum

Italicized portions are those also found in the Greek Didache.

*Viæ duæ sunt* in seculo, *vitæ et mortis*, lucis et tenebrarum.

In his constituti sunt Angeli duo, unus æquitatis, alter iniquitatis.

*Distantia autem magna est duarum viarum.*

Via ergo vitæ *hæc est: Primò dileges Deum* æternum, *qui te fecit. Secundò proximum tuum, ùt te impsum. Omne autem, quod tibi non vis fieri, alii ne feceris.*

*Interpretatio autem horum verborum hæc est: non mæchaberis, non homicidium facies, non falsum testimonium dices, no puerum violaveris, non fornicaveris . . . non medicamenta mala facies: non occides filium in abortum, nec natum succides. Non concupisces quidquam de re proximi tui. Non perjurabis. Non malè loqueris. Non eris memormalorum factorum. Non eris duplex in consilium dandum, neque bilinguis; tendiculum enim mortis est lingua. Non erit verbum tuum vacuum nec mendax. Non eris cupidus nec avarus, nec rapax, nec adulator, nec. . . .*(Cætera in Codice desiterantar.) "The rest in the MS. is wanting."

compiled by David Robert Palmer, March 2011

Documents like this are a lot of work! I am offering them free. But I could do more of them if I did not have to go to a "job." Please help by purchasing some of my other new books:

I have now completed my Swanson-style apparatus of Jude, showing complete transcripts of 62 Greek manuscripts and 10 critical editions. Preview it at: http://www.lulu.com/product/paperback/epistle-of-jude-in-62-manuscripts-ten-editions/15158799

Want to read cursive N.T. Manuscripts, but you don't know the ligatures? Get a quick-reference ligature chart here: http://www.lulu.com/product/paperback/quick-reference-greek-ligature-guide/14355820